𝔊 τῆς τοῦ βασιλέως Βαβυλῶνος. [3]καὶ ἦν εἴδωλον, Βηλ, ὃ ἐσέβοντο 3
οἱ Βαβυλώνιοι· ἀνηλίσκετο δὲ αὐτῷ καθ᾽ ἑκάστην ἡμέραν σεμιδά-
λεως ἀρτάβαι δέκα δύο καὶ πρόβατα τέσσαρα καὶ ἐλαίου μετρηταὶ
ἕξ. [4]καὶ ὁ βασιλεὺς ἐσέβετο αὐτόν, καὶ ἐπορεύετο ὁ βασιλεὺς καθ᾽ 4
ἑκάστην ἡμέραν καὶ προσεκύνει αὐτῷ· Δανιηλ δὲ προσηύχετο
πρὸς κύριον. [5]καὶ εἶπεν ὁ βασιλεὺς τῷ Δανιηλ Διὰ τί οὐ προσ- 5
κυνεῖς τῷ Βηλ; καὶ εἶπε Δανιηλ πρὸς τὸν βασιλέα Οὐδένα σέβο-
μαι ἐγὼ εἰ μὴ κύριον τὸν θεὸν τὸν κτίσαντα τὸν οὐρανὸν καὶ τὴν
γῆν καὶ ἔχοντα πάσης σαρκὸς κυρ(ι)είαν. [6]εἶπεν δὲ ὁ βασιλεὺς 6
αὐτῷ Οὗτος οὖν οὐκ ἔστι θεός; οὐχ ὁρᾷς ὅσα εἰς αὐτὸν δαπα-
νᾶται καθ᾽ ἑκάστην ἡμέραν; [7]καὶ εἶπεν αὐτῷ Δανιηλ Μηδαμῶς· 7
μηδείς σε παραλογιζέσθω· οὗτος γὰρ ἔσωθεν μὲν πήλινός ἐστιν,
ἔξωθεν δὲ χαλκοῦς· ὀμνύω δέ σοι κύριον τὸν θεὸν τῶν θεῶν,
ὅτι οὐθὲν βέβρωκε πώποτε οὗτος. [8]καὶ θυμωθεὶς ὁ βασιλεὺς ἐκά- 8
λεσε τοὺς προεστηκότας τοῦ ἱεροῦ καὶ εἶπεν αὐτοῖς Παραδείξατε
τὸν ἐσθίοντα τὰ παρασκευαζόμενα τῷ Βηλ· εἰ δὲ μή γε, ἀποθα-
νεῖσθε ἢ Δανιηλ ὁ φάσκων μὴ ἐσθίεσθαι αὐτὰ ὑπ᾽ αὐτοῦ. οἱ δὲ
εἶπαν Αὐτὸς ὁ Βηλ ἐστὶν ὁ κατεσθίων αὐτά. [9]εἶπε δὲ Δανιηλ πρὸς 9

3 μετρητας 88

---

θ′ Δανιηλ συμβιωτὴς τοῦ βασιλέως καὶ ἔνδοξος ὑπὲρ πάντας τοὺς
φίλους αὐτοῦ. [3]καὶ ἦν εἴδωλον τοῖς Βαβυλωνίοις, ᾧ ὄνομα Βηλ, 3
καὶ ἐδαπανῶντο εἰς αὐτὸν ἑκάστης ἡμέρας σεμιδάλεως ἀρτάβαι
δώδεκα καὶ πρόβατα τεσσαράκοντα καὶ οἴνου μετρηταὶ ἕξ. [4]καὶ ὁ 4
βασιλεὺς ἐσέβετο αὐτὸν καὶ ἐπορεύετο καθ᾽ ἑκάστην ἡμέραν προσ-
κυνεῖν αὐτῷ· Δανιηλ δὲ προσεκύνει τῷ θεῷ αὐτοῦ. [5]καὶ εἶπεν 5
αὐτῷ ὁ βασιλεύς Διὰ τί οὐ προσκυνεῖς τῷ Βηλ; ὁ δὲ εἶπεν Ὅτι
οὐ σέβομαι εἴδωλα χειροποίητα, ἀλλὰ τὸν ζῶντα θεὸν τὸν κτίσαντα
τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ ἔχοντα πάσης σαρκὸς κυριείαν. [6]καὶ 6
εἶπεν αὐτῷ ὁ βασιλεύς Οὐ δοκεῖ σοι Βηλ εἶναι ζῶν θεός; ἢ οὐχ
ὁρᾷς ὅσα ἐσθίει καὶ πίνει καθ᾽ ἑκάστην ἡμέραν; [7]καὶ εἶπεν Δανιηλ 7
γελάσας Μὴ πλανῶ, βασιλεῦ· οὗτος γὰρ ἔσωθεν μέν ἐστι πηλὸς
ἔξωθεν δὲ χαλκὸς καὶ οὐ βέβρωκεν οὐδὲ πέπωκεν πώποτε. [8]καὶ 8
θυμωθεὶς ὁ βασιλεὺς ἐκάλεσεν τοὺς ἱερεῖς αὐτοῦ καὶ εἶπεν αὐτοῖς
Ἐὰν μὴ εἴπητέ μοι τίς ὁ κατέσθων τὴν δαπάνην ταύτην, ἀποθα-
νεῖσθε· ἐὰν δὲ δείξητε ὅτι Βηλ κατεσθίει αὐτά, ἀποθανεῖται Δανιηλ,
ὅτι ἐβλασφήμησεν εἰς τὸν Βηλ. [9]καὶ εἶπεν Δανιηλ τῷ βασιλεῖ Γι- 9

4 εκαστην > A† hic, non in 6 || 5 κυριειαν V†] κυρ(ε)ιαν rel.: cf. Dan. 4 22 || 7 ουτος] αυτος A†: cf. 33 | μεν > B | ουδε πεπωκεν πωποτε] ουδεποτε *BL* || 8 κατεσθων B†] -θιων rel. | δειξητε] pr. απο A | βηλ paenult.] pr. ο A

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/941 UNIVERSITÄT LEIPZIG